# <em>Oikonomikos</em>

**Auteur : Foucault, Michel**

## Présentation de la fiche

Coteb023_f0608
SourceBoite_023-14-chem | Hiéroclès.
LangueFrançais
TypeFicheLecture
RelationNumérisation d’un manuscrit original consultable à la BnF, département des Manuscrits, cote NAF 28730

## Références éditoriales

Éditeuréquipe FFL (projet ANR *Fiches de lecture de Michel Foucault*) ; projet EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle).
Droits

- Image : Avec l’autorisation des ayants droit de Michel Foucault. Tous droits réservés pour la réutilisation des images.
- Notice : équipe FFL ; projet EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle). Licence Creative Commons Attribution – Partage à l’Identique 3.0 (CC BY-SA 3.0 FR).

Notice créée par équipe FFL Notice créée le 19/03/2021 Dernière modification le 23/04/2021

---

σεὶν μόνον βλάπτει τὸ σῶμα, τὸ δὲ τρυφᾶν ἄμφω διαφθείρει, ψυχήν τε καὶ σῶμα, σώματι μὲν ἀσθένειαν καὶ ἀδυναμίαν, ψυχῇ δὲ ἀκολασίαν καὶ ἀνανδρίαν ἐμποιοῦν. καὶ μὴν καὶ ἀδικίαν τίκτει τρυφή, ὅτι καὶ πλεονεξίαν. οὔτε γὰρ τρυφῶντά τινα δυνατὸν μὴ πολυτελῆ εἶναι, οὔτε πολυτελῆ ὄντα ὀλίγα βούλεσθαι ἀναλίσκειν, βουλόμενον δὲ πολλὰ μὴ καὶ πορίζειν πολλὰ ἐπιχειρεῖν, οὐδ' αὖ πορίζειν ἐπιχειροῦντα πολλὰ μὴ πλεονεκτεῖν καὶ ἀδικεῖν· οὐ γὰρ ἂν πορίσειέ τις ἐκ δικαίων πολλά. ἔτι καὶ ἄλλον τρόπον ἄδικος ἂν εἴη πάντως ὁ τρυφῶν. καὶ γὰρ ὑπὲρ πόλεως τῆς αὐτοῦ πονεῖν τοὺς προσήκοντας πόνους ὀκνήσειεν ἂν ἢ οὐκ ἂν ἔτι τρυφῴη, κἂν ὑπὲρ φίλων ἢ συγγενῶν κακοπαθῆσαι δέον, οὐκ ἂν ὑπομείνειεν· οὐ γὰρ ἐάσει αὐτὸν ἡ τρυφή. καὶ μὴν καὶ διὰ θεοὺς ἔστιν ὅτε πονητέον τῷ δικαίῳ εἶναι βουλομένῳ πρὸς θεούς, ότι θυσίας ἢ τελετὰς ἤ τινα ἄλλην ὑπηρεσίαν τελέσει τοῖς θεοῖς, ὁ δὲ τρυφῶν ἐνδεήσει κἀνταῦθα, διόπερ ἄδικος ἂν εἴη πάντως καὶ περὶ πόλιν καὶ περὶ φίλους καὶ περὶ θεούς, ἃ χρὴ πράττειν αὐτὸν οὐ πράττων. ὡς οὖν καὶ ἀδικίας αἰτίαν οὖσαν τὴν τρυφὴν φευκτέον τρόπῳ παντί.

21 Ἱεροκλέους [ἐκ τοῦ Οἰκονομικοῦ] (p. 62, 21 de Arn.).

*Πρὸ πάντων γε περὶ τῶν ἔργων, ὑφ' ὧν οἶκος συνέχεται.* ταῦτ' οὖν διαιρετέον μὲν κατὰ τὸ πλεῖστον, ⟨ὥστε⟩ τῷ

1 βλάπτειν S | διαφθείροι M ‖ 4 καὶ (ante ἀδικίαν) om. L | τρυφὴ sed ἡ corr. ex ὴν L τροφὴ M | ὅτι SML: ὅτε A ‖ 5 ὅτε pro οὔτε M ‖ 6 βουλόμενον δὲ πολλὰ μὴ καὶ SMA βουλόμενος δὲ μὴ καὶ πολλὰ L; ⟨οὔτ' ἀναλίσκειν⟩ βουλόμενον [δὲ] πολλὰ μὴ καὶ ci. Nauck ‖ 8 πορίσειέν τις M ‖ 9 ἂν sup. lin. S$^1$ ‖ 10 αὐτοῦ libri ‖ 12 δέον SMA δὲ (fuerit compendium vocabuli δέον) L; δέῃ Tr. p. 468 ‖ 14 καὶ om. A | θεούς (θεοῦσ M) ἐστιν LM | ὅτε ex ὅτϊ corr. L ‖ 15 πρὸς θεοὺς secludi voluit Meineke, immerito, ut docet Th. Gomperz l. c. p. 7 s. ‖ 16 ἐνδιοίσει A ‖ 17 κἀνταῦθα] primas litt. corr. ex περι S$^1$ ‖ 18 καὶ τὴν πόλιν καὶ τοὺς φίλους καὶ τοὺς θεοὺς L ‖ 21 ecl. cum lemm. hab. SMAL. ἱεροκλέους nec plura SMAL. Ἱεροκλέους ἐκ τοῦ οἰκονομικοῦ Tr. p. 468. suspectus igitur titulus. idem semper se sensisse mihi scribit Praechter. legebantur haec ἐν τοῖς περὶ οἴκων (p. 502, 9) vel τῷ περὶ τοῦ γάμου λόγῳ (p. 502, 2) ‖ 22 expectes Πρὸ πάντων γε ⟨ῥητέον⟩ περὶ τῶν ἔργων sim. ‖ 23 ὥστ. suppl. Praechter



608

μὲν ἀνδρὶ τὰ κατ' ἀγρὸν καὶ τὰ περὶ τὰς ἀγορὰς καὶ τὴν ἀστυπολίαν ἀνακεῖσθαι, τῇ δὲ γυναικὶ τὰ περὶ τὴν ταλασίαν καὶ σιτοπονίαν καὶ ὅλως τὰ κατοικίδια τῶν ἔργων. οὐδὲ μὴν ἀγεύστους ἀξιωτέον εἶναι τοὺς ἑτέρους τῶν ἑτέρων. γένοιτο γὰρ ἄν ποτε καὶ γυναικὶ κατ' ἀγρὸν γενομένῃ καθῆκον τὸ τοῖς ἐργαζομένοις ἐπιστῆναι καὶ τὴν τοῦ οἰκοδεσπότου τάξιν ἐκπληρῶσαι, καὶ ἀνδρὶ περὶ τῶν κατὰ τὴν οἰκίαν ἐπιστροφὴν ποιήσασθαι καὶ τὰ μὲν διαπυθέσθαι, τὰ δὲ καὶ ἐπιδεῖν τῶν γινομένων. οὕτω γὰρ ἂν ἐπισυνδέοιτο μᾶλλον τὰ τῆς κοινωνίας, εἰ συμμετέχοιεν ἀλλήλοις τῶν ἀναγκαίων φροντίδων. δεῦρο μέντοι τοῦ λόγου γενόμενος οὐκ ἂν ὀκνῆσαί μοι δοκῶ καὶ τῆς αὐτουργίας ποιήσασθαί τινα μνήμην, ἐπεὶ εἰκὸς τοῖς ὑπὲρ τῶν ἔργων εἰρημένοις καὶ τοῦτο προστεθῆναι. ὡς μὲν τοίνυν τἀνδρὶ καθήκει τῶν γεωργικῶν ἅπτεσθαι πόνων, τί δεῖ καὶ λέγειν; οὐ πολὺς γὰρ ὁ κατὰ τοῦτο δυσπειθής, ἀλλὰ καίπερ τοσαύτης τρυφῆς καὶ ἀπονίας τὸν νῦν κατεχούσης βίον, ὅμως σπάνιός ἐστιν ⟨ὁ⟩ μὴ καὶ δι' ἑαυτοῦ προθυ-

1 περὶ τὰς ἀγορὰς (-ρᾶς primo A) SMA περὶ τὰσ ἀγρὸν L περὶ τῆς ἀγορᾶς Tr. | καὶ (inc. f. 103$^r$ in L) τὴν SML idque reposui: καὶ τὰ περὶ τὴν A ‖ 2 τὰ etiam A, erravit Gaisford ‖ 3 σιτοποιίαν (ut infra p. 699, 5 σιτοποιίας) scribi vult Cobet mnemos. IX p. 139, idem melius ἱστοπονίαν mnemos.$^2$ II p. 436 coll. Clem. Alex. paed. III 26 p. 252, 10 Stähl. ταλασίαι καὶ ἱστοπονίαι. cf. infra p. 699, 5 ‖ 4 οὐδὲ Meineke: οὔτε SMAL ‖ 6 ἐπιστᾶναι A ‖ 8 ἐπὶ σταυρὸν (σταυρὸν compend.) ποιήσασθαι L ‖ 10 ἂν om. Tr. | συμμετέχειεν L ‖ 11 δεῦρο prop. Gesn.$^1$ f. 435$^v$ mrg.: δεύτερος SMA δεύτερ$^{ο}$ L | μέν τ$^{ω}$ L ‖ 12 ὀκνῆσαί μοι MA ex ὀκνήσαιμι corr. S$^1$ ὀκνήσαι$^{μι}$ in exitu versus L ‖ 13 μνήμην Meineke: γνώμην libri | ἐπεὶ εἰκὸς Meineke: ἀπεικὸς libri ‖ 15 sq. τί δεῖ καὶ λέγειν; scripsi: τί καὶ λέγειν δεῖ (δεῖ χρή Tr.) S λέγειν. τί (τι A) δεῖ (δει sine acc. M) καὶ MAL. cf. Muson. rel. p. 67, 1 H. τί δεῖ καὶ λέγειν; Hierocl. p. 17, 19 s. Arn. τί μὴν ἔδει ταῦτα λέγειν κτἑ. ‖ 16 οὐ πολὺς κτἑ.] i. non multi sunt quibus id difficile persuadetur. cf. Polyb. XV 26, 10 πολὺς ἦν ὁ καταπλέων. infeliciter haec tractavit Meineke ‖ 17 καὶ περ SL καὶ περὶ MA | ἀπονίας SMA ἀπονοίας L Tr. ‖ 18 ἐστιν ὁ Meineke: ἐστι (-τιν M) libri | μὴ καὶ — (p. 698, 1) τῶν ὑπὲρ om. A

BnF MSS